ἀργαλέον σύγκυρμ', ὀλοφώϊον, αἰὲν ἀναλθὲς,
τή μιν καρπαλίμως τε πύλαις δ' αΐδαο πέρησεν.
ἄλλοθ' ὅδ' αἰνολέτης τε κακήθης θ' ἡμιτριταῖος
χεῦεν οἱ ὑπναλέον τοῖς δ' ἤμασι κῶμα κατ' ὄσσε
λευγαλέον λίην· ἢ τετράτου ἐκ δεκάτοιο
δῆσε μιν ἀργαλέῳ σπασμῷ δέμας ἄμπαν ἐς ἰθὺ (δ),
τὸν, τέτανον καλέουσιν ἀκαμπέα δεινὸν ἰδέσθαι,
θῆκε δὲ δύσκωφόν τ' ἐμπληγέα σὺν καὶ ἄναυδον,
πρὸς δ' ἔτι πάμπαν ἄπαστον ἐεικοστόν μιν ἐς ἦμαρ,
εὖτε μιν ἠὲ σάωσεν, ἢ αὔτως κάκτανεν ὀψέ·
σήμαθ' ἃ πυθομένων χυμῶν ἀρίδηλα τέτυκται (ε)·
ἥ μιν ὅδ' ἀργαλέος κατέπεφνε δυσέντερον οἷα (ζ)
ὀψὲ μάλ', εὖτε σέσηπε ῥοῶδε' ἐν ἔγκασι πάντα
ἀμβολῇ ἐκκρίσιος χυμῶν ὀλοῶν χολοέντων.
ἄλλοτ' ἐς ὀκριόεντα μεθίσταται αἰνοτριταῖον,
ὃς ῥέα δηθύνων νούσῳ φθινώδεϊ κάρφει
χρῶ τέρεν' ἠϊθέων ἀταλῶν νύ τε θηλυτεράων (η)·
τοῖαι τοῦδ' ὀλοαὶ δεινοῦ πυρετοῖο τελευταὶ,
κεῖναι ἄρ' ὠκύτεραι, ταίδ' ἔμπαλιν ὀψιτέλεστοι.

Z. Ἤμασι δ' ἐν κρισίμοισιν ὅφρ' εὐμενέτις φύσις ἄρδην (θ)
κινηθμοὺς συνάγειρεν ἀολλέας οἷα θυέλλας,
σπέργδην σὺν δ' ἐπόρινε βίην τε παλίντονον ἰνῶν,
σὺν δ' ἐτάραξε δέμας τε καὶ ἔγκατα νειόθι πάντα,

πάλ-

(δ) Ἀφορ. Ζ. ιγ. (ε) προῤῥητικ. Α. η. ι. (ζ) ἐπιδημ. Α. β. (η) ἐπιδημ. Α. α. γ. Γ. γ. (θ) Γαλην. περὶ κρισ. Γ. η. θ.